οἰκήματα κατασκευαζομένους περιφανέστερα καὶ τραπέζαις Συβαριτικωτέραις χρωμένους. οἴεται γὰρ δὴ διὰ τοῦτο καὶ ἐν στρατείαις ταὐτὸ δύνασθαι γίνεσθαι καὶ τοὺς πλουσιωτέρους ὄντας τούτους νικᾶν καὶ τῶν ἐχθρῶν περιγίνεσθαι, ὥσπερ ἂν εἰ καὶ μὴ τοὺς τεχνικωτέρους ἰατρούς, ἀλλὰ τοὺς πλουσιωτέρους ὑγείαν τοῖς κάμνουσιν ᾤετο δύνασθαι περιποιῆσαι, καὶ φιλόσοφον μὴ τὸν τὴν τῶν ὄντων φύσιν ἀκριβῶς ἀνερευνησάμενον, ἀλλὰ τὸν πολὺν χρυσὸν κεκτημένον εἶναί τε δεῖν καὶ καλεῖσθαι. ὧν ὅμως ἅπαν ἤδη
V 235ᵛ δέδεικται τοὐναντίον. ἃ εἰ μὴ πείσειε τὸν κατήγορον, τοσαῦτά γε καὶ τοιαῦτα ὄντα, Ἀριστοτέλη ἐπικλητέον τὴν ἐσχάτην ἄγκυραν, ὃν σοφώτατον εἰκότως ἡγούμενος. εἰ μηδ᾽ αὐτοῦ τῷ καθηγεμόνι συνῳδὰ λέγοντος παύσεται τοῦ
U 175 πρὸς αὐτάρκειαν ἀκηρύκτου πολέμου, οὐδένα λόγον ἔτι αὐτοῦ ποιητέον, ἀλλ᾽ ἐς βάραθρον καὶ κόρακας κακὸν κακῶς ὀλούμενον ἀποπεμπτέον. ἐκεῖνος οὖν ἐν τῷ πρώτῳ τῶν Πολιτικῶν περὶ πλούτου καὶ παντοίου χρηματισμοῦ καὶ οἰκονομίας καὶ κτητικῆς καὶ αὐταρκείας τὸν λόγον ποιούμενος· »ἓν μέν, φησίν, εἶδος κτητικῆς κατὰ φύσιν τῆς οἰκονομικῆς μέρος ἐστίν. ὃ δεῖ ἤτοι ὑπάρχειν ἢ πορίζειν αὐτήν, ὅπως ὑπάρχῃ, ὧν ἔστι θησαύρισμα χρημάτων πρὸς ζωὴν ἀναγκαίων καὶ χρησίμων εἰς κοινωνίαν πόλεως ἢ οἰκίας. καὶ ἔοικεν ὅ γ᾽ ἀληθινὸς πλοῦτος ἐκ τούτων εἶναι. ἡ γὰρ τῆς τοιαύτης κτήσεως αὐτάρκεια πρὸς ἀγαθὴν ζωὴν οὐκ ἄπειρός ἐστιν.« τῆς γε μὴν χρηματικῆς περαιτέρω φησὶ πέρας μὴ εἶναι, μηδὲ φύσει αὐτὴν εἶναι. τὴν δὲ πρὸς αὐτάρκειαν κτῆσιν φύσει τε εἶναι καὶ ἐπαινετὴν εἶναι, ἅτε τῆς φύσεως μηθὲν μήτε ἀτελὲς μήτε μάτην ποιούσης. οὕτως Ἀριστοτέλης, οὕτω Πλάτων, Λυκοῦργος, Ξενοφῶν, Σόλων, Πλούταρχος, πάντες ὅλως σοφοὶ ξυνῳδὰ περὶ τούτων φασί, οἷς οὗτος ὁ ἀνθρωπίσκος φρονεῖ παντελῶς ἐναντία. καὶ ταῦτα μὲν ταύτῃ.

Κεφ. ιε´ Ὅτι τὰ ἐν τῷ δεκάτῳ τῶν Νόμων ὑπὸ Πλάτωνος περὶ ψυχῆς εἰρημένα οὐκ ἐναντία ἐστὶ τοῖς ἐν τῷ Τιμαίῳ περὶ αὐτῆς εἰρημένα, ὡς ὁ κατήγορος οἴεται.

**15,1** Ὁ δ᾽ ἤδη τρόπαιον κατὰ Πλάτωνος, ὡς οἴεται, στησάμενος περί γε τὰ εἰς παιδείαν ψυχῆς καὶ ἠθῶν ἐπιμέλειαν καὶ πολιτειῶν κατάστασιν ἀνήκοντα, πρὸς τοῖς ἐν τῷ πρώτῳ καὶ δευτέρῳ κατὰ Πλάτωνος ἀμαθίας εἰρημένοις ἐγκλήμασιν ἔτι κἀνταῦθα αὐτὸν ἀγνοίας καὶ ἐναντιολογίας περὶ τὴν μάλιστα αὐτῷ ἐσπουδασμένην περὶ ψυχῆς ὑπόληψιν γράφεται, ἐν μὲν τῷ δεκάτῳ τῶν Νόμων προτέραν παντὸς σώματος τὴν ψυχὴν εἶναι τιθέμενον λέγων,
U 175ᵛ ἐν δὲ τῷ Τιμαίῳ ἐκ σωματικῆς φύσεως αὐτὴν συντιθέντα ἐκ τῆς ἀμερίστου
V 236 καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γινομένης μεριστῆς, τρίτον τι ἐξ ἀμφοῖν ἐν μέσῳ συγκιρνῶντα οὐσίας εἶδος. τὸ γὰρ ἔκ τινων τοῦ ἐξ αὐτῶν ὕστερον εἶναί φησι. καὶ τὴν ψυχὴν ἐκ σωματικῆς οὖσαν οὐσίας, ὡς ἐν Τιμαίῳ, ὑστέραν σώματος εἶναι. ἀλλὰ καὶ προτέραν
B 121 αὖ σωμάτων ἁπάντων, ὡς ἐν δεκάτῳ τῶν Νόμων. οὕτως ἐναντία ἑαυτῷ φησι Πλάτων. καίτοι, ὦ ἄνθρωπε, οὐκ ἐν τῷ δεκάτῳ τῶν Νόμων μόνον,

ΙΩΑΝΝΙΝΑ 2006

aedificari magnificentius, vestes parari decentius ex ampliore pecunia perspexerit. Unde hoc idem arbitratur in re militari effici posse, ut, qui ditiores sunt, hi victoriam adipisci facilius valeant, perinde quasi existimare videatur non peritiores medicos posse aegrotum periculo eximere, sed ditiores, nec philosophum oportere esse, qui de rerum natura egregie disserat, sed locupletem. At non ita esse Aristoteles quoque ostendit, cum primo Politicorum libro ita de divitiis et re familiari loquitur: »Genus, inquit, possidendi unum naturale est rei familiaris pars. Quod autem praeesse oportet aut adhiberi studio curae ipsius rei familiaris, ut pecuniae tantum adsit, quantum ad usum necessarium et commodum sit pro civitatis aut familiae societate. Et in hoc consistere verae divitiae videntur. Etenim eius possessionis necessitas ad bonorum hominum vitam immensa non est.« Pecuniae vero illius exitum nullum esse fatetur, nec naturalem quidem eam esse, cum altera, quae desideriis satisfaciat necessariis, et naturalis et laudabilis sit, quippe nihil a natura vel imperfectum vel frustra fit. Sic Aristoteles, Plato, Lycurgus, Xenophon, Solon, Plutarchus et reliqui sapientissimi viri de hac re in eandem sententiam locuti sunt, quibus adversari et contradicere obiurgator noster conatur.

16 θησαύρισμα U B V θησαυρισμὸς *Bekker* | 19 ἀγαθὴν *Bekker* ἀγαθῶν U B V | 23 πάντες U V πάντως B

14 Arist. Pol. α 8. 1256 b, 26—32. | 19 cf. Arist. Pol. α 8. 1257 b | 33 cf. Georg. Trap. Compar. III. 13.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ κἀν τῷ τρίτῳ κἀν Φαίδωνι κἀν Φαίδρῳ κἀν Πολιτείαις πολλαχῇ τε ἄλλοθι. καὶ τὸ μεῖζον, ἐν αὐτῷ τῷ Τιμαίῳ προσεχῶς πρὸ τῶν εἰρημένων ῥημάτων τὴν ψυχὴν πρὸ τοῦ σώματος εἶναι λέγων· »τὴν δὲ δὴ ψυχήν, φησίν, οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ θεὸς νεωτέραν· οὐ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεωτέρου συνέρξας εἴασεν. ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος τε καὶ εἰκῇ, ταύτῃ πῃ καὶ λέγομεν, ὁ δὲ καὶ γενέσει καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος ὡς δεσπότιν καὶ ἄρξουσαν ἀρξομένου ξυνεστήσατο.« εἶτ' εὐθὺς ἐπιλέγει τὰ προειρημένα. »οὕτως ἐπιλήσμων ἦν ἑαυτοῦ, οὕτω τὸν νοῦν βραδὺς καὶ ἀνόητος, ὡς ἐν ἑνὶ καὶ ταὐτῷ κώλῳ τἀναντιώτατα ἑαυτῷ καὶ πρὸ σωμάτων πάντων καὶ ἐνσωμάτων αὐτὴν συγκεῖσθαι εἰπεῖν.« καὶ ἀληθῶς κατὰ τί φῂς οὔτε αὐτὸν ἑαυτὸν οὔτ' ἄλλους αὐτόν, ὅτι λέγοι, νοεῖν; τούτων
U 176 γὰρ τὸ δεύτερον σοί γε πάντως συμβαίνει μηδ' ὅλως αὐτοῦ συνιέντι. οὔτε γὰρ ἐκ σωμάτων αὐτὴν συγκεῖσθαί φησιν, ὡς αὐτὸς οἴει καὶ κακουργῶν παραφθείρεις τὴν λέξιν, ἀντὶ τοῦ ἐκ τῆς περὶ τὰ σώματα μεριστῆς ἐξουσίας »μεριστῆς καὶ σωματικῆς« λέγων.

2 Πολὺ γὰρ διαφέρει σῶμα τῆς περὶ τὰ σώματα μεριστῆς. οὔτ' ἐκ τῆς πρώτης τῶν σωμάτων ὕλης, ἀλλ' ἥπερ ἐν τῷ δευτέρῳ διὰ βραχέων εἰρήκαμεν, μέσην αὐτὴν τῶν νοητῶν τε καὶ αἰσθητῶν εἶναι βουλόμενος δεῖξαι, ἐξ
V 236v ἀμφοῖν αὐτὴν συντεθεῖσθαι βούλεται. τοῦ γὰρ παντὸς ἐκ νοῦ καὶ ψυχῆς καὶ σώματος συμπληρουμένου, τὴν ψυχὴν μέσον τοῖν δυοῖν εἶναι, τήν τε οὐσίαν μέσην αὐτοῖν ἔχουσαν, τάς τε ἰδιότητας αἰώνιον μὲν πῃ κατ' οὐσίαν οὖσαν, ἐν χρόνῳ δὲ ποιουμένην τὰς ἐνεργείας. δι' ὃ μὴ τὸ ὄντως ὂν εἶναι, ἀλλὰ κρείττω μὲν τοῦ μὴ ὄντος, ὑφειμένην δὲ τοῦ ὄντως ὄντος. τὰ γὰρ ὅμοια τοῖς παράγουσι πρὸ τῶν ἀνομοίων παράγεθαι πρὸς αὐτῶν. εἰσὶ γὰρ οἱ τῶν περὶ Πλάτωνα τὸ μὲν νοητὸν ὄντως ὄν, τὸ δὲ ψυχικὸν οὐκ ὄντως ὄν, τὸ δ' αἰσθητὸν οὐκ ὄντως οὐκ ὄν, τὴν δὲ ὕλην ὄντως οὐκ ὂν εἰώθασιν ὀνομάζειν. εἶναί τε τὴν ψυχὴν τοῦ ὄντως ὄντος καὶ οὐκ ὄντως οὐκ ὄντος μέσην, οὐκ ὄντως ὂν οὖσαν. καὶ διὰ τοῦτο πῇ μὲν ἐκ τοῦ ὄντως ὄντος,
B 121v πῇ δ' ἐκ τοῦ οὐκ ὄντως οὐκ ὄντος συγκεῖσθαι. οὔτε μέντοι ἐκ σώματος ἢ μετὰ σῶμα ἢ σῶμα εἶναι οὔτ' ἐκ τῆς πρώτης τῶν σωμάτων ὕλης, ἀλλ' ἀμέριστον μὲν ἔχουσαν τὴν οὐσίαν, ἅτε δή πῃ αἰώνιον, μεριστὰς δὲ τὰς ἐνεργείας, ἄλλας ἄλλοις ὑποκειμένοις ἁρμοζούσας καὶ σωματικῶν δὲ ὁμοίας
U 176 ὀργάνων. ἐξ ἀμερίστου καὶ μεριστῆς οὐσίας εἶναι, λεγομένην τῆς μὲν ὡς εἰκόνα, τῆς δὲ μεριστῆς ὡς παράδειγμα. καὶ πῇ μὲν ἁπλῆν, πῇ δὲ σύνθετον. καὶ πῇ μὲν ἐξῃρημένην τῆς σωματικῆς συστάσεως, πῇ δὲ συντεταγμένην. καὶ πρὸς μὲν τὴν ἀμέριστον μεριστὴν οὖσαν, πρὸς δὲ τὴν μεριστὴν ἀμέριστον καὶ τὴν μεσότητα ἐν αὐτοῖς κατέχουσαν. ᾗ καὶ Ἀριστοτέλης τὸν μὲν οὖν ἑαυτῷ πρὸς τὰς ἰδίας ἐνεργείας ἀρκοῦντα σωματικῶν ὀργάνων οὐδὲν προσδεόμενον δείξας, τὰς δ' ἄλλας ψυχῆς δυνάμεις μὴ ἂν δύνασθαι ἄνευ τοιούτων ὀργάνων τὸ ἴδιον ἔργον ἀποτελέσαι συναποδείξας, οὐκ ἂν οὐδ' αὐτὸς μέσην σωματικῆς τε καὶ νοητῆς οὐσίας αὐτὴν θεῖναι ἀπαξιώσειεν.

3 Ἀλλὰ τούτων μὲν εἴ τις εὐγνωμόνως ἀκούων τοῖς αὐτὰ ἐξηγησαμένοις

Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

8 τοῦ B V] M *om.* | 24 τοῦ ὄντως ὄντος U τοῦ ὄντος B V

8 Plat. Tim. VIII. 34 c. | 9 Georg. Trap. Compar. III. 13.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἕλλησί τε καὶ Χριστιανοῖς διδασκάλοις προσέχοι τὸν νοῦν, οἳ πλεῖστα
περὶ αὐτῶν καὶ κάλλιστα εἶπον, οὐ μόνον οὐ κατήγορος, ἀλλὰ καὶ ἐπαι-
V 237 νέτης οὐ ῥᾴθυμος ἂν γένοιτο. πρὸς οὓς ἡμεῖς παραπέμποντες τῶν σπου-
δαιοτέρων τοὺς βουλομένους, τέλος ἐπιθήσομεν τῷ συγγράμματι, πρὸς μίαν
ἔτι τῶν αὐτοῦ κατὰ Γραικῶν καὶ Λατίνων καὶ αὐτοῦ Πλάτωνος λοιδοριῶν
βραχέ' ἄττα εἰπόντες.

### Κεφ. ις' Ὅτι ψεύδεται ὁ κατήγορος λέγων τοὺς Γραίκους διολέσθαι διὰ τὸ χρήσασθαι τοῖς τοῦ Πλάτωνος νόμοις.

**16,** 1 Φησὶν οὖν Γραικοὺς τοῖς Πλάτωνος νόμοις χρωμένους καὶ τὰ ἐκείνου
τιμῶντας καὶ παιδοφθορίας ἡττωμένους διολέσθαι καὶ ἀρχὴν καὶ πλοῦτον
καὶ δυναστείαν ἀπολωλεκότας, καὶ διὰ τοῦτο ἀσφαλιζόμενος τοὺς Λατίνους
ἀπαγορεύει μὴ Πλατωνικοῖς χρῆσθαι νόμοις, μὴ καὶ αὐτοὶ ὁμοίως ἐκείνοις
ἀπόλοιντο. εἶτα καὶ ἀξίοις μισθοῖς Λατίνους καὶ τὴν καθολικὴν ἐκκλησίαν
U 176 ἀμειβόμενος, ἣ αὐτὸν ἐξ ἀλήτου καὶ γραμματιστοῦ καὶ παιδαγωγοῦ τοῖς
οἰκείοις ἑαυτῇ ἐνάριθμον ἀπειργάσατο καὶ οὐ μικρῷ τετίμηκεν ἀξιώματι,
ἐκ πτωχοῦ καὶ πένητος πλούσιον οὕτως ἀναδείξασα, ὡς καὶ πέντε ἢ ἓξ
χιλιάδας χρυσείων νομισμάτων τοῖς τραπεζίταις ἐπὶ τόκῳ παραθέμενον ἅπαξ
ὑπὸ ἀπληστίας καὶ φιλοτοκίας ἀπολέσαι τοῖς τε θείοις νόμοις τοῖς τε τοῦ
Πλάτωνος τόκον ἀπαγορεύουσι δίκην ἐκτίναντα, καὶ αὐτὴν οὖν τὴν ἐκκλε-
B 122 σίαν καὶ τοὺς τροφίμους αὐτῆς, εἴθε ψευδόμενος, μαντεύεται μετ' οὐ πολὺ
ἀπολουμένους καὶ αὐτοὺς εἰς τὸ αἴσχιστον τῆς παιδοφθορίας πάθος ἐμπεπτω-
κότας καὶ γυναικῶν μὲν ἀπεχομένους, τὴν δὲ ἄρρενα κοίτην προσιεμένους.
τί τῆς γλώττης ταύτης ἀκολαστότερον, τί δὲ μιαρώτερον εὕροι τίς ἄν, ἣ
οὐδενὸς φείδεται, οὐδὲν ἄρρητον ἑαυτῇ οἴεται, πάντα τολμᾷ, πάντα ληρεῖ,
πᾶσαν βδελυρίαν, πᾶσαν μοχθηρίαν κατὰ οἰκείων, κατὰ ἀλλοτρίων, κατὰ
ἀξίων, κατὰ ἀναξίων, κατ' εὐτυχούντων, κατὰ δυστυχούντων ἀκρατῶς ἐμεῖ;
φεῦ ὅσης ἰλύος, ὅσου βορβόρου, ὅσης κόπρου, ὅσης αἰσχρολογίας ἐξ αἰσ-
χρουργίας αὐτοῦ πάντως ὁρμωμένης ἡ κατάπτυστος ἐκείνη καὶ τῷ ὄντι
ἐπάρατος πλήρης ἐστίν. εὖ ὁ θεῖός φησι λόγος· τὴν ὁμοίαν αὐτῇ ἀδάμαστον
γλῶτταν ἀκατάσχετον εἶναι κακόν, μεστὴν ἰοῦ θανατηφόρου. καὶ Εὐριπί-
V 237ᵛ δης· »ἀχαλινώτου στόματος« καὶ γλώττης ἀκολάστου »τὸ τέλος εἶναι δυ-
στυχίαν«. καὶ Αἰσχύλος· »γλώττῃ ματαίᾳ ζημίαν προσγίνεσθαι«. καὶ Πλού-
U 176ᵛ ταρχος· γλῶσσαν βλασφήμου διανοίας κακῆς ἔλεγχον εἶναι. καὶ Πλάτων·
λόγῳ πτηνῷ τε καὶ κουφοτάτῳ πράγματι ζημίαν ἕπεσθαι βαρυτάτην.

2 Ἀλλ', ὦ ταλαίπωρε καὶ κατάπτυστε, οὔτε Γραικοὶ διὰ τὸ νόμοις
Πλατωνικοῖς χρῆσθαι διώλοντο, οὔτ' ἀπολοῦνται διὰ τοῦτο Λατῖνοι. ἀπόλοιο
αὐτὸς πρόρριζος κακῶς κακὸς ὢν καὶ γένοιο ὡς μὴ γεγονώς. Γραικοὶ
δὲ πρῶτα μὲν διὰ τὴν κοινὴν τῶν ἀνθρωπίνων πραγμάτων φύσιν μηδαμῇ
ἐπὶ τοῦ αὐτοῦ μένουσαν, ἀλλὰ παντοίαις μεταβολαῖς χαίρουσαν καὶ κύκλον
ἰοῦσαν, ἀνάγουσάν τε καὶ κατάγουσαν πάντα, ὡς ἔτυχε, τέλος καὶ αὐτοὶ
τῆς ἀρχῆς ἔλαβον, πολύν τε καὶ ἱκανὸν διαρκέσαντες χρόνον ἐπ' εὐτυχίας

ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Cap. XV. Falsum esse, quod adversarius asserit ideo Graecos periisse, quod legibus Platonis usi sunt.

Haec ubi de vita et moribus et legibus Platonis blaterator effudit, **15**, 1 addit Graecos Platonis legibus usos fuisse ideoque miseros periisse, ac proinde Latinos admonet, ne his legibus utantur. Quodsi secus faciant, perituros testatur et peccato nefario homines pios et sanctissimam dei ecclesiam foedat, quod profanum marium congressum usurpaverint.

At enim Graecos amisisse imperium, quod multis annorum curriculis 2 tenuerant, fateor, sed non ideo quidem, quod Platonis legibus usi essent, — eadem enim illi iura, quae ceteri Christianae rei publicae homines coluere —, verum quia natura rerum ita fert, ut nihil ortum sit, quod non aliquando occidat. Quapropter non temere dici solet circulum esse usum rerum humanarum sese volventem et, quos modo habebat superiores, inferius deducentem et contra, qui inferiores erant, tollentem superius. Tenuerunt quidem aliquando Graeci principatum nec exiguo temporis spatio domini fuerunt. Sed fieri non poterat, quin ipsi quoque legi naturae obsequerentur et fortunae vicissitudini subiecti forent, ne semper felices fortunatique durarent.

11 ἀσφαλιζόμενος U ἀσφαλιζομένους B M | 32 προσγίνεσθαι U B V προστρίβεται *Dindorf* | 36 κατάψευστε] U *add.* καὶ πάντων ἀνδρῶν μιαρώτατε

20 cf. Iac. 3, 8. | 31 Eurip. Bacch. 386—388. | 32 Aesch. Prom. 329. | 33 cf. Plut. Moral. II. 90 B. 854 D *(ed. Bernardakis I. 208. V. 207.)* | 34 cf. Plat. Legg. IV. 717 c.

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐσχάτης. εἶναι γὰρ καὶ γενῶν ὡς καὶ ἀνθρώπων ἑκάστου ἀρχήν, ἀκμήν, παρακμήν τε καὶ τελευτήν. οὕτω Μῆδοι, οὕτως Ἀσσύριοι, οὕτω Βαβυλώνιοι, οὕτω Πέρσαι, οὕτως Ἀθηναῖοι, οὕτω Λακεδαιμόνιοι, οὕτως ἡ Ἀλεξάνδρου καὶ Λακεδαιμονίων οἰκουμενικὴ δυναστεία, οὕτως ἡ μεγίστη βασιλεία Ῥωμαίων, ὧν οὐδένες νόμοις ἐχρήσαντο Πλάτωνος, ἔληξαν καὶ τέλος ἔσχον, ἄλλαις ἐνδοῦσαί πη πολιτείαις καὶ ἀρχῶν καταστάσεσιν. ἔπειτα δέ, εἴ τι B 122ʳ καὶ διὰ νόμων ἢ χρῆσιν ἢ παράβασιν διαλύσεως ἀρχῆς αἰτίαν παρέσχον, οὐ διὰ τὸ χρήσασθαι νόμοις τοῖς Πλάτωνος, ἀλλὰ τοὐναντίον μᾶλλον, ὅτι τῶν παρ' αὐτοῖς εἴτε θείων καὶ ἱερῶν εἴτε πολιτικῶν νόμων, ἐφ' ὅσον αὐτοῖς καὶ οἱ Πλατωνικοὶ συμφωνοῦσιν, παρὰ τὰ ἀρχαῖα αὐτοῖς ἔθη ὀλιγώρως ἔσχον. διὰ τοῦτο καὶ ἀρχὴν ἀπώλεσαν καὶ δουλείαν δουλεύουσιν, ὅτι U 177 μὴ τὴν οἰκείαν αὐλὴν ἰσχυρῶς ὡπλισμένοι κατὰ τὰ ἱερὰ λόγια ὡς πάλαι V 238 ποτὲ ἐφύλαττον· ὅτι μὴ καὶ ὅπλοις αὐτοί τε καὶ οἱ αὐτῶν ἄρχοντες, ὡς ὁ πολιτικὸς νόμος κελεύει, ἐκοσμοῦντο· ὅτι στρατευόμενοι ταῖς τοῦ βίου ἐνεπλέκοντο στρατείαις, ὃ Παῦλος ὁ θεῖος ἀπαγορεύει· ὅτι μὴ κατὰ Πλάτωνος στρατείαν καὶ τὰ πολεμικὰ μόνον οἱ στρατιῶται, ὡς καὶ τῷ Παύλῳ διὰ τῶν προειρημένων δοκεῖ δεῖν, ἀλλὰ καὶ πολλὰ ἅμα ἐπετήδευον ἐπιτηδεύματα· ὅτι σοφίας, ἐν ᾗ ποτε πάντων ὑπερέσχον ἐθνῶν, ἠμέλησαν· ὅτι μὴ τὴν πρὸς ἀρετὴν ἐκ παίδων ἀνήγοντο παιδείαν, ἐπιθυμητὴν καὶ ἐραστὴν ποιοῦσαν τοῦ πολίτας γενέσθαι τελέους, ἄρχειν τε καὶ ἄρχεσθαι ἐπισταμένους μετὰ δίκης· ὅτι ἐν πλούτῳ, οὐκ ἐν ἀρετῇ τὴν εὐδαιμονίαν ἐτίθεντο· ὅτι τὰ σώματος ἀγαθὰ πρὸ τῶν τῆς ψυχῆς καὶ τὰ περὶ τὴν οὐσίαν καὶ χρήματα λεγόμενα πρὸ τῶν περὶ τὸ σῶμα προετίμων· ὅτι μὴ δεσπότης ἦν αὐτοῖς αἰδὼς καὶ δουλεία νόμων τε καὶ ἀρχόντων, μηδὲ νόμοι μὲν ἄρχοντες ἀρχόντων, ἄρχοντες δὲ δοῦλοι τῶν νόμων ἦσαν, ἐφ' οἷς πάλαι ποτὲ ἐθαυμάζοντό τε καὶ ἐπῃνοῦντο· ὅτι στάσεσι καὶ ἐμφυλίοις πολέμοις καὶ διαιρέσεσιν ἔχαιρον· ὅτι τῶν ἰδίων ἢ τῶν κοινῶν πλείονα πρόνοιαν ἐποιοῦντο, δέον τὸ ἐναντίον, εἴ γε τὸ μὲν κοινὸν συνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις, καὶ τὸ τοῦ μέρους τοῦ τοῦ ὅλου ἀγαθοῦ προετίθουν, μᾶλλον ἢ ἐχρῆν τὸ ἐμόν τε καὶ οὐκ ἐμὸν οἰόμενοι· ὅτι γυμναστικῆς καὶ ἀγωνιστικῆς πάσης ἠμέλουν οὐδὲ πονεῖν ἠροῦντο, ἀλλ' ἐν ῥᾳστώνῃ τὸν βίον διῆγον· ὅτι ὑπὲρ τὴν οὐσίαν ἀπειροκάλως ἀνήλισκον· ὅτι τοιαῦτ' ἄττα καὶ τούτοις U 177ᵛ ὅμοια ἐπετήδευον, ὧν τοὐναντίον ἅπαν διὰ πάντων αὐτοῦ τῶν Νόμων αὐτός τε βούλεται Πλάτων, εἰ καλῶς μέμνησαι, ὧν εἰς τὴν Λατινικὴν φωνὴν ἐκ τῆς Ἑλλήνων μετήνεγκας, καὶ οἱ πατέρες αὐτοῖς ἐπὶ τῶν ἀρχαίων ἐπετή-B 123 δευον χρόνων σφόδρα ἐπὶ πάσαις ἀρεταῖς καὶ ὀρθῇ παιδείᾳ θαυμαζόμενοι. V 238ᵛ οἷς ἅπασιν εἰ καὶ νῦν ἐχρῶντο καὶ κατ' ἐκείνους ἔζων καὶ ἐπολιτεύοντο, τηροῦντες μὲν τὴν περὶ τοῦ θείου δόξαν, ὡς ἐκ τῶν ἱερῶν διδασκάλων παρέλαβον ἀκραιφνῆ, καὶ τὴν ἤθους χρηστότητα καὶ ψυχῆς παιδείαν τε καὶ τροφήν, ἑπόμενοι δὲ καὶ τά γε πολιτικὰ τοῖς τοιούτοις τῶν νόμων, μακάριοί τε ἂν ἐγεγόνεσαν καὶ ἀΐδιον ἐπολιτεύοντ' ἂν πολιτείαν. νῦν δὲ τἀναντία ἐπιτηδεύσαντες εἰκότως διώλοντο καὶ τῶν ἀρχαίων ἐξέστησαν. διὰ ταῦτα, ὦ ἄνθρωπε, διὰ ταῦτα τοῖς ἐχθροῖς ὑπεῖξαν καὶ τὴν ἀρχὴν ἀπεβάλλοντο,

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Quod si aliquando evenire necesse erat, miserandi sunt, postquam perierunt, non vituperandi. Sic Assyriorum imperium periit, sic Medorum, Persarum, Macedonum, Atheniensium, Lacedaemoniorum, Romanorum, quos Platonis legibus usos esse ne adversarius quidem dicere auderet. Enimvero ut singulorum hominum, ita nationum quoque certa aetas est, qua consumpta universa gens perit. Eo modo, quo Plato aut Theophrastus aut quivis mortalium senectute exstinguitur, sic illi perierunt, quibus hic obiicit nefandum coitum puerorum. Et Latinos hoc ipso scelere Turcorum mancipia futuros vociferat, non ob leges Platonis. Nam quod ad eas quidem attinet, si, quae in illis praecipiuntur, vel Graeci vel quicumque antehac perierunt, servassent, ut cives iugi concordia vixissent, ut suos amassent, ut hostes odissent, ut omne studium, laborem atque industriam ad unam patriae salutem et libertatem et gloriam convertissent nec mercennariis peregrinisque militibus usi fuissent, sed ipsi rem militarem exercuissent, postremo studia litterarum et liberales artes, quibus olim Graeci excelluerunt, coluissent, neglexissent divitias et tenuiorem victum secuti essent, si haec, inquam, quae et Plato praecepit et omnes, qui unquam claruere, servarunt, Graeci homines et alii observassent, nequaquam perire potuissent. Ita non modo propter Platonis leges Graeci non perierunt, sed servari etiam potuissent, si earum legum consilio, quatenus divinis legibus nostris conveniunt, rem publicam administrassent.

---

6 πη U] B V *om.* | 41 ἐγεγόνεσαν *scripsi* ἐγεγόνεισαν *codd.* | 48 ἀπεβάλλοντο U ἀπεβάλλον B V

---

12 cf. Marc. 3,27 | 16 cf. II. Cor. 10, 3.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐ διὰ τοὺς νόμους τοῦ Πλάτωνος, οὐ μὲν οὖν. ταῦτα καὶ Λατίνοις, εἰ ταῦτα ἐπιτηδεύοιεν, οὐχ ἡ παιδοφθορία, ὡς αὐτοῖς ἐγκαλεῖς καλοὺς αὐτοῖς καὶ τῇ θρεψαμένῃ σε ἐκκλησίᾳ ἀποδιδοὺς τοὺς μισθούς, ἀπωλείας καὶ φθορᾶς αἴτια ἔσται. οὐ γὰρ δυνατὸν ἐκ τοιούτων ἐπιτηδευμάτων οἱανοῦν συστῆναι πόλιν καὶ πολιτείαν ἢ συστᾶσαν ἐπὶ πολὺ διαμεῖναι. οὐ δεῖ οὖν σε πάθει κατεχόμενον τοιαῦτα κατὰ τοιούτων ἀνδρῶν βλασφημεῖν· οὐ γὰρ δὴ κωφοῖς διαλέγῃ, ἀλλὰ δυναμένοις καί, ἐφ' οἷς τι ἀληθείας ἐχόμενον λέγεις, αἰνεῖν σε καὶ τὰ ψευδῆ φωρᾶν τε καὶ ψέγειν.

Κεφ. ιζ' Ὅτι ἀσύστατα ἑαυτῷ ὁ κατήγορος ἔδρασεν μεμψάμενος Πλάτωνι, ὃν ἀλλαχοῦ ὑπερφυῶς τυγχάνει ἐγκεκωμακώς.

17, 1 Ταῦτα μὲν οὖν ἡμῖν πρὸς τὰ κυριώτερα τῶν κατὰ τῆς Πλάτωνος καὶ
U 178 σοφίας καὶ φρονήσεως καὶ παντοδαπῆς ἀρετῆς λοιδορημάτων εἰρημένα πέρας
ἐχέτωσαν. ἱκανὰ γὰρ καὶ ταῦτα τό τ' ἐκείνου πρὸς ἅπαντα ὑπερέχον τήν
τε τούτου συκοφαντίαν ἅπασι παραστῆσαι. ἐπὶ δὲ πᾶσι καὶ τὸν κολοφῶνα
τῶν ἀποδείξεων τὴν παρ' αὐτοῦ τοῦ ἐχθροῦ μαρτυρίαν ἐπενεκτέον. ἵνα γὰρ
τελευταῖον, ἄνδρες Λατῖνοι, οἷος μὲν οὗτος πίθηκος, οἷος δ' ἀνὴρ Πλάτων
ἐστί, σαφέστατα εἰδῆτε μηδ' ἄλλως τά γε περὶ Πλάτωνος ἀγνοοῦντες,
αὐτοῦ τούτου τοῦ κατηγόρου τῇ ὑμετέρᾳ φωνῇ περὶ Πλάτωνος γεγραφότος
ἀκούσατε. οὗτος γὰρ ὁ χρηστὸς τοὺς Νόμους τοῦ Πλάτωνος κατὰ κέλευσιν
τοῦ θειοτάτου τε καὶ σοφωτάτου ἀνδρὸς Νικολάου τοῦ μακαρίτου πάπα
ἑρμηνεύσας, τοιαῦτα περὶ Πλάτωνος πρὸς αὐτὸν τὸν ἀρχιερέα φησίν· »ἐκέ-
V 289 λευσάς με, μακαριώτατε πάτερ, τοὺς Πλάτωνος Νόμους ἐκ τοῦ Ἑλληνικοῦ
εἰς τὸ Λατινικὸν μεταγαγεῖν, τὸ μὲν ὅτι καὶ οἱ πατέρες ἡμῶν ἄρχουσιν
οἰκείαν τὴν ἐκείνων ἀνάγνωσιν ἐτίθεντο, τὸ δ' ὅτι καὶ ἡ σὴ ἁγιότης Πλά-
B 123ᵛ τωνα ὡς φιλοσοφίας πατέρα καὶ ἀρχηγόν, ὑφ' οὗ δὴ τῷ ὄντι προῆλθε
φιλοσοφία, σφόδρα θαυμάζει καὶ ἄγαται. ἑπόμενος οὖν τῷ κελεύσματί σου
ἔργον ὑπέστην δυσκατόρθωτόν τε καὶ ἅμα οὐδενὶ τῶν πρὸ ἡμῶν τετολ-
μημένον. ἑρμηνεύων δὲ αὐτοὺς οὕτω τεθαύμακα τὴν τοῦ ἀνδρὸς εἴτ' εὐ-
φυΐαν εἴτε σοφίαν εἴθ' ὃ μᾶλλον εἰπεῖν θειότητα, ὡς μηδὲ λόγῳ δύνασθαι
τοῦτο δηλῶσαι. ὃ γὰρ τῆς σῆς μέμνημαί ποτε μακαριότητος ἀκηκοὼς οὐκ
U 178ᵛ ὀλίγους τῶν θεολογίας ὀνομαστῶν διδασκάλων πολιτικῆς ἐπιστήμης Ἀρι-
στοτέλους καὶ Πλάτωνος κρίσιν ποιουμένους, ἐκείνην μὲν τῇ νῦν παρούσῃ
ἀνθρωπίνῃ καταστάσει, τὴν δὲ Πλάτωνος τῇ ἐν παραδείσῳ πρὸ τῆς ἐκεῖθεν
ἐκπτώσεως ἡμῶν ἂν προσήκειν ζωῇ οἴεσθαι, τοῦτο τῷ ὄντι ἐν τῷ βιβλίῳ
τούτῳ ὑφ' οἷον παραπετάσματι καὶ αἰνίγμασι διορᾶται. τί δέ φημι αἰνίγ-
ματα; οὕτω διαρρήδην οὐκ ὀλίγα τῶν αὐτῷ εἰρημένων καὶ σαφῶς λέγεται,
ὡς ἐνεῖναι καὶ σφόδρα ἐλπίζειν πᾶσαν ἀνθρωπίνην φύσιν τοῖς αὐτοῦ νόμοις
παντὸς ἂν πάθους ἀπαλλαγῆναι. οὐδὲν γὰρ μᾶλλον τὰ κακῶς εἰργασμένα
κολάζει ἢ καὶ τὰς διανοήσεις τὰς μοχθηράς. οὐκ ὀργῇ καὶ θυμῷ, οὐκ
ἐπιθυμίᾳ κινεῖσθαι ἐᾷ. εἰ δέ τις χρήμασι πεισθεὶς ἐν δικαστηρίῳ συνηγοροῖ,
τούτῳ θάνατον ἐπιτίθησι δίκην. καὶ τὸ θαυμασιώτερον, μέχρι δεκαετίας

Ε.Υ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Cap. XVI. Adversarium aliquando laudasse Platonem, quem modo vituperat.

Ceterum haec pro Platone exposuisse satis sit, longe quidem pau- **16,1**
ciora, quam eius viri divina sapientia et virtus et ingenium exigere videantur. Superest, ut adversarium ipsum parumper audiamus laudantem Platonis doctrinam et mores et ingenium praeferentemque eum ceteris omnibus clarissimis viris, quos unquam anteacta saecula tulerunt, ut ipsius etiam verbis deprehendatur, quam iniquus, pravus perversusque sit, cum virtutes Platonis, quas alias praedicavit et, quanto potuit, studio atque ingenio, extollere conatus est, nunc neget et scelera fingens vituperet maledictisque et contumeliis insectetur. Hic iussu Nicolai V. pontificis maximi, viri doctrina et sanctitate vitae singularis, Platonis Leges interpretatus et ad eum, ut moris est, praefationem scribens quot Platonem laudibus extulerit, quo studio eruditionem eius summamque doctrinam, cognitionem omnium rerum, sanctitatem morum, vitae integritatem, divinam paene legum inventionem ac inauditam sapientiam prosecutus sit, ipsius verbis, quamvis inepta sunt, quaeso parumper videamus. »Iussisti, inquit, beatissime pater, ut libros Platonis de Legibus de Graeca lingua in Latinam verterem, tum quia res ipsa vel a maioribus nostris digna semper principe iudicata est, tum quia sanctitas tua Platoni tamquam philosophorum patri ac principi, unde philosophia recte propagata est, plurimum atque plurimum afficitur. Parui mandatis tuis remque arduam ac nemini priscorum attentatam suscepi. Qua quidem in traductione adeo sum admiratus vel ingenium vel doctrinam vel potius divinitatem illius hominis, ut rem prae stupore verbis exprimere nequeam. Nam quod a sanctitate tua memini audisse a praeclaris quibusdam theologiae magistris, cum in comparationem disciplinae civilis Aristotelicae atque Platonicae incidissent,

---

6 κατεχόμενον] U *add.* καὶ μανίᾳ ἐλαυνόμενον | βλασφημεῖν] U *add.* φλυαρεῖν πάντα λογισμὸν ἀπωθούμενον καὶ πάντα δεύτερα τοῦ ψεύδεσθαι τιθέμενον | 7 κωφοῖς] U *add.* οὐδὲ κατὰ σὲ ἀνοήτοις ἀνδράσι | 25 ὑφ' οὗ B V ἀφ' οὗ U | 32 κρίσιν B V σύγκρισιν U | 33 τὴν U V τῇ B M

---

21 Georg. Trap. Praefatio ad Nicolaum V. *(ined.)*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

παιδοποιΐᾳ σχολάζειν συγχωρεῖ. τοῦτο δ' ἐκείνῳ σαφέστατα ταὐτόν ἐστι
τῷ παρά τινων διδασκάλων τῆς ἐκκλησίας λεγομένῳ, ὡς εἰ ὁ ἄνθρωπος μὴ
παρέβη τὴν θείαν ἐντολὴν τῶν αἰσθητικῶν δυνάμεων μὴ μαχομένων τῷ
νῷ, συνήρχοντο μὲν ἂν ἀνὴρ καὶ γυνὴ παιδοποιΐας ἕνεκα οὐ πολλάκις
μέντοι οὐδ' ἐπὶ πολὺν χρόνον, μὴ δέον πολλοὺς γεννᾶσθαι, ἀλλ' ὅσοι ἐκλεκτοὶ
V 239v μόνον καὶ πρὸς τὴν τῶν ἐκπεσόντων ἀγγέλων ἀναπλήρωσιν ἦσαν ἂν ἱκανοί.
τοῦτ' αὐτὸ γὰρ καὶ Πλάτων ὀνειροπολῆσαι δοκεῖ διὰ τούτων. εἰ γὰρ καὶ
ἐπὶ δεκαετίας, ὡς εἰρήκαμεν, παιδοποιΐᾳ σχολάζειν νομοθετεῖ, τοῖς ἄρχουσιν
ὅμως ἐξεῖναι βούλεται, εἴ τινες ἢ μὴ γεννήσαιεν παῖδας ἢ γεννηθέντας
θανάτῳ ἀποβάλλοιντο, ἐπὶ μακρότερον χρόνον ἐκχωρεῖν ἄνδρας γυναιξὶ συν-
U 179 ιέναι. παίδων τε γεννωμένων ἱκανὸν εἶναί φησιν ἀριθμὸν ἄρρενα καὶ θῆλυν·
οὐ γὰρ οὕτω πολλοὺς ὡς χρηστοὺς καὶ τῆς τοῦ βίου τούτου μοχθηρίας
ἀπηλλαγμένους πολίτας ἔχειν ἐπιθυμεῖ. ἃ πάντα οὐ μᾶλλον, ὥς τινες
B 124 οἴονται, ἐξ Ἰουδαίων ἀφέληται ἢ θεόθεν εἰς ὠφέλειαν τῶν ἐπιγενομένων
ἀνθρώπων ἐνεπνεύσθη ἐμοὶ κριτῇ.« καὶ μετά τινα· »δύο περιβοήτους ἀν-
θρώπους Πλάτωνα καὶ Ἀριστοτέλη θείᾳ προνοίᾳ ταὐτῷ σχεδὸν χρόνῳ
φαίην ἂν ἀνθρώποις χαρισθῆναι, ὧν θατέρῳ μὲν τὰ τῆς φύσεως μυστήρια
τῇ παρούσῃ τῶν ἀνθρώπων ζωῇ συμβαίνοντα ἀπεκάλυψε, θατέρῳ δὲ ἐλπίσαι
παρέσχε δυνηθῆναι ἂν τὴν αὐτοῦ πόλιν τοῖς ἰδίοις νόμοις εἰς πολιτείαν
ὑψηλοτέραν τῆς νῦν ἀνθρώπων φυῆς ἐπαναγαγεῖν καὶ τῶν ἄλλων χωρίσαι.
τῷ γὰρ ὄντι τὰς τῶν ἐθνῶν διανοίας ἡ θεία πρόνοια διὰ Πλάτωνος καὶ τῶν
Νόμων ἐκείνου ὥσπερ τινῶν ἐνυπνίων πρὸς ὑποδοχὴν τῆς εὐαγγελικῆς διδασ-
καλίας προτέρα παρασκευάσαι δοκεῖ.« εἶτα αὐτὸν εὐγλωττίας τε καὶ εὐ-
επείας ἕνεκα καὶ νοημάτων βαρύτητός τε ἅμα καὶ ὑψηλότητος θαυμάζει καὶ
παραιτεῖται, εἰ μὴ αὐτὸς ἠδυνήθη τοσαύτῃ χάριτι τὰ ἐκείνου εἰς τὸ Λατινι-
κὸν μεταγαγεῖν, ὅσῃ ἐκεῖνος συνέθηκεν, τοσούτῳ αὐτὸν ἑαυτοῦ κρείττονα
ἐν ταύταις ταῖς βίβλοις γενέσθαι λέγων, ὅσῳ τοῖς ἄλλοις πάντων τῶν
ἄλλων ἐκράτησεν. καὶ αὖ· »οὕτως αὐτὸν τῷ βάθει τῶν νοημάτων συμμῖξαι
V 240 τὴν χάριν καὶ τὸ κάλλος τῶν λεγομένων, ὡς δυσχερὲς εἶναι κρῖναι, πότερον
καλλιεπείᾳ ἢ βαρύτητι διανοίας ὑπερέχει.«

2 Ἔν γε μὴν τῷ εἰς τὸν Παρμενίδην αὐτοῦ προοιμίῳ, ὃν κελεύσει τοῦ
σοφοῦ ἐκείνου καὶ ἱεροῦ ἀνδρὸς Νικολάου καρδηνάλεως τοῦ ἐκ Κούζης ⟨ἑρμη-
νεύσας⟩, οὐδὲν ὅτι μὴ Πλάτωνα πνέοντος ἑρμηνεῦσαι δέον, πάντῃ παρέφθαρκε,
τοιαῦτα περὶ αὐτοῦ τε Πλάτωνος καὶ τοῦ διαλόγου τῷ προειρημένῳ καρδηνάλει
προσφωνῶν λέγει· »ἔστι δ' οὕτω τὸ βιβλίον τοῦτο καὶ νοημάτων βαθύτητι
καὶ ἐπιχειρημάτων πυκνότητι πλῆρες, ὡς ῥᾷστα ἂν πᾶσιν ἐντεῦθεν τήν
τ' εὐφωνίαν τοῦ Πλάτωνος τήν τε τῆς διανοίας ὀξύτητα καὶ τὴν τοῦ ἐφ'
ἑκάτερον ἐπιχειρεῖν εἰδέναι δύναμιν ἄφατον ἀναφανῆναι, τό τε δύνασθαι διὰ
βραχέων τοσαῦτ' ἀπαγγεῖλαι, ὅσ' ἄν τιν' οὐκ ἄν ποτε βραχύτερον εἰπεῖν
δυνηθῆναι.« ταῦτα μὲν καὶ τὰ τοιαῦτα ὁ χρηστὸς οὗτος μαρτυρεῖ Πλάτωνι,
U 179v ὃν πάσης ἐπιστήμης ἄπειρον καὶ ἀμέτοχον ἐν τούτοις αὐτοῦ τοῖς καλοῖς
συγγράμμασιν εἴρηκεν, ὃν αἴσχιστον καὶ μωρὸν καὶ ἀνόητον νομοθετῶν
ἁπάντων γενέσθαι διϊσχυρίσατο, οὗ λοιδορεῖ τοὺς νόμους, οὗ διασύρει τοὺς

Ε.Υ. Δ.Π.Κ. τ.Π. ΙΩΑΝΝΙΝΑ 2006